καὶ ἤχαλλεν ὅτι μήπω παρεγένοντο. ὡς δὲ χρόνος ἱκανὸς διεγένετο, καὶ πρέσβεις παρῆσαν, ἤδη δὲ τοῦ τείχους ἱκανῶς προκεχωρηκότος τοῖς Λακεδαιμονίοις ἤγγελτο ὅτι τετειχισμέναι λοιπὸν εἶεν Ἀθῆναι. παρελθὼν ἔπειθεν αὐτοὺς μὴ ταχέως πιστεύειν τοῖς βουλομένοις εἰς ἔχθραν καταστῆσαι τὴν πόλιν. ἀλλ' ἐπιλεξαμένους αὐτῶν ἄνδρας τοὺς εὐνοίᾳ καὶ πίστει διαφέροντας, ἐπόπτας ἐκπέμψαι. μέχρι δὲ τῆς ἐκείνων παρουσίας, ὅμηρον αὐτὸν κατεπαγγέλλετο, κἂν τούτῳ τρίβειν τινὰ χρόνον ἐμποιῶν. πεισθέντων οὖν Λακεδαιμονίων καὶ τοὺς μάλιστα διαφέροντας εὐνοίᾳ καὶ πίστει τῶν πολιτῶν πεμψάντων, λάθρα τοῖς Ἀθηναίοις προσέταξε μὴ πρότερον τοὺς Λακεδαιμονίων ἄνδρας ὀπίσω πάλιν ἐλθεῖν ἐᾶσαι, πρὶν αὐτόν τε καὶ τοὺς συμπρέσβεις ἀπολύσωσι Πελοποννήσιοι. ἔστιν οὖν τὸ νόημα ὑπερβατόν. ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν. ὅστις ἐποίησε μεστὴν καὶ ὁλόκληρον ἡμῶν τὴν πόλιν ἀτείχιστον οὖσαν. ἄλλως. ἐπιχειλῆ. ἐνδεᾶ. ἐπιχειλὲς γὰρ μέτρον λέγεται, τὸ καὶ μὴ πλῆρες, ἀλλ' ἀπομεμετρημένον. αἰνίττεται δὲ, ὅτι αὐτὸς τὴν πόλιν ἐτείχισε. Καὶ πρὸς τούτοις ἀριστῶσῃ.] καὶ πρὸς τούτοις ἄριστα τῇ πόλει ἐχούσῃ. ἔπαιξε δὲ τῷ ἀριστώσῃ πρὸς τὰ ἐπιφερόμενα. Τὸν Πειραιᾶ.] καὶ τὸν Πειραιᾶ γὰρ ἐτείχισεν. ὃς ἀπέχει τῆς πόλεως σταδίους λέ, παρὰ θάλατταν ὤν. ἔπαιξε τῷ ἀριστώσῃ πρὸς τὰ ἐπιφερόμενα. πρὸς ὃ ἐπιφέρει καὶ τὸ ἰχθῦς προσέθηκεν. Προσέμαξε.] προσέθηκε. προσεκόλλησεν. μάττειν γὰρ λέγεται τὸ ἀναμιγνῦναι καὶ φυρᾶν καὶ εἰς ἓν συνάγειν. ἑξῆς οὖν τὸ μάττειν προσήνεγκε, διὰ τὸ προειρηκέναι ἀριστώσῃ. αἰνίττεται δὲ διὰ τούτων τὰ μακρὰ τείχη παρὰ τοῖς Ἀθηναίοις καλούμενα. μακρὰ δὲ ἐλέγοντο, διὰ τὸ ἀπὸ τῆς πόλεως διήκειν μέχρι τοῦ Πειραιῶς. ἄλλως. ἐμπόριον ὁ Πειραιεὺς τῶν Ἀθηναίων παρὰ τῇ θαλάττῃ κείμενος, ἀπὸ πέντε τῆς πόλεως σημείων. Ἰχθῦς καινούς.] ὅτι ἐκ τοῦ Πειραιῶς ἐποίησεν αὐτοὺς ἰχθύας ἔχειν. τὸν γὰρ Πειραιᾶ Θεμιστοκλῆς προσέβαλλε τῇ πόλει. τὸ δὲ παρέθηκε, προσέθηκε. προσεκόλλησε τὰ μακρὰ τείχη. Μικροπολίτας.] διὰ τὴν ἐκ τοῦ πολέμου στενοχωρίαν τῶν ἀναλωμάτων καὶ τὴν τῶν ἀνδρῶν σπάνιν. Διατειχίζων.] συστέλλων τὰ τείχη. διὰ γὰρ τὸν πόλεμον καὶ τὰ ἐπὶ τοῖς φρουροῖς ἀναλώματα, καὶ τὴν ἀνδρῶν σπάνιν συνέστειλαν τὰ τείχη. Κἀκεῖνος μὲν φεύγει.] ἐξωστράκισε γὰρ τὸν Θεμιστοκλέα ὁ δῆμος. Σὺ δ' ἀχιλλείων.] σὺ δὲ τῆς ἐν Πρυτανείῳ σιτήσεως μετέχεις. ἐκαλοῦντο γὰρ ἀχίλλειαί τινες κριθαὶ ὡς εὐγενεῖς αὗται. Μὴ σκέρβολλε. μὴ λοιδόρει. δηλοῖ δὲ καὶ κερτομεῖν. κεῖται δὲ νῦν ἡ λέξις, ἀντὶ τοῦ μὴ ποίκιλλε. καὶ Καλλίμαχος. σκέρβολα μυθήσαντο.

BISETVS. Σκέρβολλε.] Εὐστάθιος. σκερβόλλειν, εἰς κέαρ βάλλειν, ἀποβολῇ τοῦ ε. τῆς ἐς προθέσεως.

Σχόλια. Ἐγκρυφιάζων.] ἐμφωλεύων καὶ ἀποκρύπτων. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ἐλάνθανές με ῥᾳδιουργῶν περὶ πόλιν. ἀπὸ δὲ τοῦ ἐγκρυφίου ἄρτου μετήνεγκεν. ὅτι λανθάνων καὶ ἐγκρύπτων σεαυτόν.

BISETVS. Διπλῆ καὶ εἴσθεσις εἰς περίοδον κώλων ιβ'.

Αλλ. Μιαρώτατος, ὦ δημακίδιον, καὶ πλεῖστα πανοῦργα δεδρακώς,
Ὁπόταν χασμᾷ, καὶ σὺ καυλοὺς
Τῶν εὐθυνῶν ἐκκαυλίζων,
Καταβροχθίζει, κἀμφοῖν χεροῖν
Μυστιλᾶται τῶν δημοσίων,
Κλ. Οὐ χαιρήσεις, ἀλλά σε κλέπτοντ' αἱρήσω 'γὼ τρεῖς μυριάδας.
Αλλ. Τί θαλαττοκοπεῖς καὶ πλατυγίζεις,
Μιαρώτατος ὢν περὶ τὸν δῆμον
Τῶν Ἀθηναίων; καί σ' ἐπιδείξω
Νὴ τὴν Δήμητρ', ἢ μὴ ζώην,
Δωροδοκήσαντ' ἐκ Μιτυλήνης πλεῖν ἢ μνᾶς τετταράκοντα.

AG. *Nequissimus homo est, mi Popule: & qui astute plurima fecit,*
*Quando oscitat, & repetundarum*
*Caules defringit, & absorbet,*
*Manibusque ambabus Reipub.*
*Bona peculatur, & exugit.*
CL. *Non ridebis. nam ego te furti*
*Reum agam, propter tres Myriades.*
AG. *Quid turbas das? quid strepitas?*
*Qui pessimus es erga populum*
*Atticum? ego te conuincam, ita me*
*Dea amet, aut non viuam, quòd plus,*
*Quàm quadraginta minis, corruptus fueris, è Mytilene.*

Σχόλια. Μιαρώτατος.] διπλῆ καὶ εἴσθεσις εἰς περίοδον ἀναπαιστικὴν, δωδεκάκωλον. ὧν τὸ πρῶτον καὶ τελευταῖον τετράμετρα καταληκτικά. τὰ δὲ λοιπὰ δίμετρα ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Ὁπόταν χασμᾷ.] ὁπότε μετεωροφρονεῖς. ὅτι περὶ ἄλλα τὴν διάνοιαν ἔχεις. Τῶν εὐθυνῶν.] τῶν δικαίων παραλογισμῶν. οἱ γὰρ χειρίσαντές τι τῶν κοινῶν, καὶ διοικήσαντες, τῶν ἀνηλωμένων χρημάτων εὐθύνας καὶ λογισμοὺς ἐδίδοσαν. Ἐκκαυλίζων.] ἀπὸ τῶν τὰ λάχανα ἀποκλώντων τῇ μεταφορᾷ ἐχρήσατο. ὅτι ἀνασπῶν καὶ ἀναιρῶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστι. μισθὸν λαμβάνων παρὰ τῶν διοικούντων τὰ κοινὰ, ἐκκόπτει αὐτῶν τὰς δίκας, ἵνα μὴ ὁ δῆμος εὐθύνας λαμβάνειν παρ' αὐτῶν δύνηται. Καταβροχθίζει.] καταπίνει ἀμφοτέραις ταῖς χερσί. τουτέστιν ἀπλήστως καὶ λάβρως καὶ ἀφειδῶς. Μυστιλᾶται.] κατατρώγει. ἰδίως δὲ παρὰ τοῖς Ἀττικοῖς μύστιλλον ἐκάλουν τὸν ἄρτον τὸν τοῖς κυσὶ παραβαλλόμενον καὶ ἀλλαχοῦ μεμυστιλημένας, ἀντὶ τοῦ κατειργασμένας ἤδη καὶ ἑτοίμους. τουτέστι μεμασημένας. ἄλλως. μυστίλη ὁ κοῖλος ἄρτος, ᾧ δύναταί τις καὶ ζωμὸν ἀρύσασθαι. Αἱρήσω.] φθερῶ. διελέγξω. ἔλαβε δὲ τὸ αἱρήσω, ἀπὸ τοῦ χαιρήσω. ἄλλως. κλοπῆς συγκατηγορήσεως. καταδίκης αἴτιός σοι γενήσομαι νικήσας σε. Τί θαλαττοκοπεῖς.] ἐθαλαττοκράτουν γὰρ οἱ Ἀθηναῖοι. ὡς τοῦ Κλέωνος συνεχῶς προφερομένου τὴν κατὰ θάλατταν δυναστείαν. πλατυγίζειν δὲ κυρίως, τὸ ἐπιτιθέναι πλαταγώνιον τῇ ἀριστερᾷ χειρὶ καὶ παίειν τῇ δεξιᾷ καὶ ἦχον ἀποτελεῖν.

ἄλλως